# ΑΜΒΑΚΟΥΜ

1 ΤΟ λῆμμα ὃ εἶδεν Ἀμβακοὺμ ὁ προφήτης.
2 ¨Εως τίνος, Κύριε, κεκράξομαι καὶ οὐ μὴ
εἰσακούσῃς; βοήσομαι πρός σε ἀδικούμενος
καὶ οὐ σώσεις;
3 ἱνατί ἔδειξάς μοι κόπους καὶ πόνους,
ἐπιβλέπειν ταλαιπωρίαν καὶ ἀσέβειαν;
ἐξεναντίας μου γέγονε κρίσις, καὶ ὁ κριτὴς
λαμβάνει.
4 διὰ τοῦτο διεσκέδασται νόμος, καὶ οὐ
διεξάγεται εἰς τέλος κρίμα, ὅτι ὁ ἀσεβὴς
καταδυναστεύει τὸν δίκαιον· ἕνεκεν τούτου
ἐξελεύσεται τὸ κρίμα διεστραμμένον.
5 ἴδετε, οἱ καταφρονηταί, καὶ ἐπιβλέψατε
καὶ θαυμάσατε θαυμάσια καὶ ἀφανίσθητε,
διότι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις
ὑμῶν, ὃ οὐ μὴ πιστεύσητε, ἐάν τις ἐκδιηγῆται.
6 διότι ἰδοὺ ἐγὼ ἐξεγείρω ἐφ᾿ ὑμᾶς τοὺς
Χαλδαίους τοὺς μαχητάς, τὸ ἔθνος τὸ πικρὸν
καὶ τὸ ταχινόν, τὸ πορευόμενον ἐπὶ τὰ πλάτη
τῆς γῆς τοῦ κατακληρονομῆσαι σκηνώματα
οὐκ αὐτοῦ.
7 φοβερὸς καὶ ἐπιφανής ἐστιν, ἐξ αὐτοῦ τὸ
κρίμα αὐτοῦ ἔσται καὶ τὸ λῆμμα αὐτοῦ ἐξ
αὐτοῦ ἐξελεύσεται.
8 καὶ ἐξαλοῦνται ὑπὲρ παρδάλεις οἱ ἵπποι
αὐτοῦ καὶ ὀξύτεροι ὑπὲρ τοὺς λύκους τῆς
Ἀραβίας· καὶ ἐξιππάσονται οἱ ἱππεῖς αὐτοῦ

καὶ ὁρμήσουσι μακρόθεν καὶ πετασθήσονται
ὡς ἀετὸς πρόθυμος εἰς τὸ φαγεῖν.
9 συντέλεια εἰς ἀσεβεῖς ἥξει, ἀνθεστηκότας
προσώποις αὐτῶν ἐξεναντίας καὶ συνάξει ὡς
ἄμμον αἰχμαλωσίαν.
10 καὶ αὐτὸς ἐν βασιλεῦσιν ἐντρυφήσει καὶ
τύραννοι παίγνια αὐτοῦ, καὶ αὐτὸς εἰς πᾶν
ὀχύρωμα ἐμπαίξεται καὶ βαλεῖ χῶμα καὶ
κρατήσει αὐτοῦ.
11 τότε μεταβαλεῖ τὸ πνεῦμα καὶ
διελεύσεται καὶ ἐξιλάσεται· αὕτη ἡ ἰσχὺς τῷ
Θεῷ μου.
12 οὐχὶ σὺ ἀπ᾿ ἀρχῆς, Κύριε, ὁ Θεὸς ὁ ἅγιός
μου; καὶ οὐ μὴ ἀποθάνωμεν. Κύριε, εἰς κρίμα
τέταχας αὐτόν· καὶ ἔπλασέ με τοῦ ἐλέγχειν
παιδείαν αὐτοῦ.
13 καθαρὸς ὁ ὀφθαλμὸς τοῦ μὴ ὁρᾶν
πονηρά, καὶ ἐπιβλέπειν ἐπὶ πόνους οὐ
δυνήσῃ· ἵνα τί ἐπιβλέπεις ἐπὶ
καταφρονοῦντας; παρασιωπήσῃ ἐν τῷ
καταπίνειν ἀσεβῆ τὸν δίκαιον;
14 καὶ ποιήσεις τοὺς ἀνθρώπους ὡς τοὺς
ἰχθύας τῆς θαλάσσης καὶ ὡς τὰ ἑρπετὰ τὰ
οὐκ ἔχοντα ἡγούμενον;
15 συντέλειαν ἐν ἀγκίστρῳ ἀνέσπασε καὶ
εἵλκυσεν αὐτὸν ἐν ἀμφιβλήστρῳ καὶ
συνήγαγεν αὐτὸν ἐν ταῖς σαγήναις αὐτοῦ.
16 ἕνεκεν τούτου εὐφρανθήσεται καὶ
χαρήσεται ἡ καρδία αὐτοῦ· ἕνεκεν τούτου
θύσει τῇ σαγήνῃ αὐτοῦ καὶ θυμιάσει τῷ
ἀμφιβλήστρῳ αὐτοῦ, ὅτι ἐν αὐτοῖς ἐλίπανε
μερίδα αὐτοῦ, καὶ τὰ βρώματα αὐτοῦ

ἐκλεκτά.
17 διὰ τοῦτο ἀμφιβαλεῖ τὸ ἀμφίβληστρον
αὐτοῦ καὶ διὰ παντὸς ἀποκτέννειν ἔθνη οὐ
φείσεται.

# 2

1 ΕΠΙ τῆς φυλακῆς μου στήσομαι καὶ
ἐπιβήσομαι ἐπὶ πέτραν καὶ ἀποσκοπεύσω τοῦ
ἰδεῖν τί λαλήσει ἐν ἐμοὶ καὶ τί ἀποκριθῶ ἐπὶ
τὸν ἔλεγχόν μου.
2 καὶ ἀπεκρίθη πρός με Κύριος καὶ εἶπε·
γράψον ὅρασιν καὶ σαφῶς εἰς πυξίον, ὅπως
διώκῃ ὁ ἀναγινώσκων αὐτά.
3 διότι ἔτι ὅρασις εἰς καιρὸν καὶ ἀνατελεῖ
εἰς πέρας καὶ οὐκ εἰς κενόν· ἐὰν ὑστερήσῃ,
ὑπόμεινον αὐτόν, ὅτι ἐρχόμενος ἥξει καὶ οὐ
μὴ χρονίσῃ.
4 ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου
ἐν αὐτῷ· ὁ δὲ δίκαιος ἐκ πίστεώς μου
ζήσεται.
5 ὁ δὲ κατοιόμενος καὶ καταφρονητής, ἀνὴρ
ἀλαζών, οὐθὲν μὴ περάνῃ, ὃς ἐπλάτυνε
καθὼς ᾄδης τὴν ψυχὴν αὐτοῦ καὶ οὗτος ὡς
θάνατος οὐκ ἐμπιπλάμενος καὶ ἐπισυνάξει
ἐπ᾿ αὐτὸν πάντα τὰ ἔθνη καὶ εἰσδέξεται πρὸς
αὐτὸν πάντας τοὺς λαούς.
6 οὐχὶ ταῦτα πάντα κατ᾿ αὐτοῦ παραβολὴν
λήψονται καὶ πρόβλημα εἰς διήγησιν αὐτοῦ;
καὶ ἐροῦσιν· οὐαὶ ὁ πληθύνων ἑαυτῷ τὰ οὐκ
ὄντα αὐτοῦ ἕως τίνος; καὶ βαρύνων τὸν
κλοιὸν αὐτοῦ στιβαρῶς.

7 ὅτι ἐξαίφνης ἀναστήσονται δάκνοντες
αὐτόν, καὶ ἐκνήψουσιν οἱ ἐπίβουλοί σου, καὶ
ἔσῃ εἰς διαρπαγὴν αὐτοῖς.
8 διότι σὺ ἐσκύλευσας ἔθνη πολλά,
σκυλεύσουσί σε πάντες οἱ ὑπολελειμμένοι
λαοὶ δι᾽ αἵματα ἀνθρώπων καὶ ἀσεβείας γῆς
καὶ πόλεως καὶ πάντων τῶν κατοικούντων
αὐτήν.
9 ὦ ὁ πλεονεκτῶν πλεονεξίαν κακὴν τῷ
οἴκῳ αὐτοῦ τοῦ τάξαι εἰς ὕψος νοσσιὰν
αὐτοῦ τοῦ ἐκσπασθῆναι ἐκ χειρὸς κακῶν.
10 ἐβουλεύσω αἰσχύνην τῷ οἴκῳ σου,
συνεπέρανας πολλοὺς λαούς, καὶ ἐξήμαρτεν
ἡ ψυχή σου·
11 διότι λίθος ἐκ τοίχου βοήσεται, καὶ
κάνθαρος ἐκ ξύλου φθέγξεται αὐτά.
12 οὐαὶ ὁ οἰκοδομῶν πόλιν ἐν αἵμασι καὶ
ἑτοιμάζων πόλιν ἐν ἀδικίαις.
13 οὐ ταῦτά ἐστι παρὰ Κυρίου
παντοκράτορος; καὶ ἐξέλιπον λαοὶ ἱκανοὶ ἐν
πυρί, καὶ ἔθνη πολλὰ ὠλιγοψύχησαν.
14 ὅτι ἐπλησθήσεται ἡ γῆ τοῦ γνῶναι τὴν
δόξαν Κυρίου, ὡς ὕδωρ κατακαλύψει αὐτούς.
15 ὦ ὁ ποτίζων τὸν πλησίον αὐτοῦ
ἀνατροπῇ θολερᾷ καὶ μεθύσκων, ὅπως
ἐπιβλέπῃ ἐπὶ τὰ σπήλαια αὐτῶν.
16 πλησμονὴν ἀτιμίας ἐκ δόξης πίε καὶ σύ,
καρδία σαλεύθητι καὶ σείσθητι· ἐκύκλωσεν
ἐπὶ σὲ ποτήριον δεξιᾶς Κυρίου καὶ συνήχθη
ἀτιμία ἐπὶ τὴν δόξαν σου.
17 διότι ἀσέβεια τοῦ Λιβάνου καλύψει σε,

καὶ ταλαιπωρία θηρίων πτοήσει σε δι᾽
αἵματα ἀνθρώπων καὶ ἀσεβείας γῆς καὶ
πόλεως καὶ πάντων τῶν κατοικούντων
αὐτήν.
18 τί ὠφελεῖ γλυπτόν, ὅτι ἔγλυψαν αὐτό;
ἔπλασεν αὐτὸ χώνευμα, φαντασίαν ψευδῆ,
ὅτι πέποιθεν ὁ πλάσας ἐπὶ τὸ πλάσμα αὐτοῦ
τοῦ ποιῆσαι εἴδωλα κωφά.
19 οὐαὶ ὁ λέγων τῷ ξύλῳ· ἔκνηψον,
ἐξεγέρθητι, καὶ τῷ λίθῳ· ὑψώθητι· καὶ αὐτό
ἐστι φαντασία, τοῦτο δέ ἐστιν ἔλασμα
χρυσίου καὶ ἀργυρίου, καὶ πᾶν πνεῦμα οὐκ
ἔστιν ἐν αὐτῷ.
20 ὁ δὲ Κύριος ἐν ναῷ ἁγίῳ αὐτοῦ·
εὐλαβείσθω ἀπὸ προσώπου αὐτοῦ πᾶσα ἡ γῆ.

# 3

*Προσευχὴ Ἀμβακοὺμ τοῦ προφήτου μετὰ
ᾠδῆς.*
1 ΚΥΡΙΕ, εἰσακήκοα τὴν ἀκοήν σου καὶ
ἐφοβήθην·
2 Κύριε, κατενόησα τὰ ἔργα σου καὶ
ἐξέστην. ἐν μέσῳ δύο ζῴων γνωσθήσῃ, ἐν τῷ
ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι
τὸν καιρὸν ἀναδειχθήσῃ, ἐν τῷ ταραχθῆναι
τὴν ψυχήν μου, ἐν ὀργῇ ἐλέους μνησθήσῃ.
3 ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ
ὄρους κατασκίου δασέος. (διάψαλμα).
ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ
αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ.

4 καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται, κέρατα
ἐν χερσὶν αὐτοῦ, καὶ ἔθετο ἀγάπησιν
κραταιὰν ἰσχύος αὐτοῦ.
5 πρὸ προσώπου αὐτοῦ πορεύσεται λόγος,
καὶ ἐξελεύσεται εἰς παιδείαν κατὰ πόδας
αὐτοῦ
6 ἔστη, καὶ ἐσαλεύθη ἡ γῆ· ἐπέβλεψε, καὶ
διετάκη ἔθνη. διεβρύθη τὰ ὄρη βίᾳ, ἐτάκησαν
βουνοὶ αἰώνιοι.
7 πορείας αἰωνίας αὐτοῦ ἀντὶ κόπων εἶδον·
σκηνώματα Αἰθιόπων πτοηθήσονται καὶ αἱ
σκηναὶ γῆς Μαδιάμ.
8 μὴ ἐν ποταμοῖς ὠργίσθης, Κύριε, ἢ ἐν
ποταμοῖς ὁ θυμός σου; ἢ ἐν θαλάσσῃ τὸ
ὅρμημά σου; ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σου,
καὶ ἡ ἱππασία σου σωτηρία.
9 ἐντείνων ἐντενεῖς τὸ τόξον σου ἐπὶ
σκῆπτρα, λέγει Κύριος. (διάψαλμα). ποταμῶν
ραγήσεται γῆ.
10 ὄψονταί σε καὶ ὠδινήσουσι λαοί,
σκορπίζων ὕδατα πορείας αὐτοῦ· ἔδωκεν ἡ
ἄβυσσος φωνὴν αὐτῆς, ὕψος φαντασίας
αὐτῆς.
11 ἐπῃ£ρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ
τάξει αὐτῆς· εἰς φῶς βολίδες σου
πορεύσονται, εἰς φέγγος ἀστραπῆς ὅπλων
σου.
12 ἐν ἀπειλῇ ὀλιγώσεις γῆν καὶ ἐν θυμῷ
κατάξεις ἔθνη.
13 ἐξῆλθες εἰς σωτηρίαν λαοῦ σου τοῦ
σῶσαι τὸν χριστόν σου· ἔβαλες εἰς κεφαλὰς
ἀνόμων θάνατον, ἐξήγειρας δεσμοὺς ἕως

τραχήλου. (διάψαλμα).
14 διέκοψας ἐν ἐκστάσει κεφαλὰς
δυναστῶν, σεισθήσονται ἐν αὐτῇ·
διανοίξουσι χαλινοὺς αὐτῶν ὡς ἐσθίων
πτωχὸς λάθρᾳ.
15 καὶ ἐπεβίβασας εἰς θάλασσαν τοὺς
ἵππους σου ταράσσοντας ὕδατα πολλά.
16 ἐφυλαξάμην, καὶ ἐπτοήθη ἡ κοιλία μου
ἀπὸ φωνῆς προσευχῆς χειλέων μου, καὶ
εἰσῆλθε τρόμος εἰς τὰ ὀστᾶ μου, καὶ
ὑποκάτωθέν μου ἐταράχθη ἡ ἕξις μου.
ἀναπαύσομαι ἐν ἡμέρᾳ θλίψεως τοῦ
ἀναβῆναι εἰς λαὸν παροικίας μου.
17 διότι συκῆ οὐ καρποφορήσει, καὶ οὐκ
ἔσται γενήματα ἐν ταῖς ἀμπέλοις· ψεύσεται
ἔργον ἐλαίας, καὶ τὰ πεδία οὐ ποιήσει
βρῶσιν· ἐξέλιπον ἀπὸ βρώσεως πρόβατα, καὶ
οὐχ ὑπάρχουσι βόες ἐπὶ φάτναις.
18 ἐγὼ δὲ ἐν τῷ Κυρίῳ ἀγαλλιάσομαι,
χαρήσομαι ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.
19 Κύριος ὁ Θεὸς δύναμίς μου καὶ τάξει
τοὺς πόδας μου εἰς συντέλειαν· ἐπὶ τὰ ὑψηλὰ
ἐπιβιβᾷ με τοῦ νικῆσαί με ἐν τῇ ᾠδῇ αὐτοῦ.

# Η Παλαιά Διαθήκη κατά τη μετάφραση των εβδομήκοντα (Ο') | SEPTUAGINTA
## The Old Testament in Ancient Greek, Septuagint translation

Public Domain

℗ Orthodox Media Network

Language: Ελληνικά (Greek, Ancient)

Dialect: Koine

ORTHODOX MEDIA NETWORK-ΟΡΘΟΔΟΞΟ ΔΙΚΤΥΟ ΕΝΗΜΕΡΩΣΗΣ
A Voice from the Heart of Mount Athos to the World
Orthodox Media Network (https://vivlos.link/DEqNY) was founded on Mount Athos – the only monastic republic in the world – with main mission to promote the Holy Scriptures and preserve the spiritual and cultural heritage of Orthodox monasticism, using mainly the internet.
Since 2010, its founder and General Secretary, Apostolos Vavylis, has become the first person internationally to record the entire Bible in both the original ancient Greek text and its modern Greek translation.
This work – unprecedented in Orthodox tradition – has reached and inspired millions:
* Over 15 million people (estimated) have listened to at least one chapter of the recorded Bible.

* Hundreds of independent accounts across nearly every digital platform, share these recordings in countless forms.
We have never claimed copyright or demanded takedowns of these reproductions — because our goal is not profit, but the free and faithful dissemination of the Word of God and the blessing it brings to the world.
We welcome anyone that would like to publicly share our work with the only condition to publish the present text as a minimum respect to our mission.
* Our vision:

To place a Bible in every Greek-speaking home, wherever it may be on earth.

There are an estimated 17 million Greeks living in nearly 100 countries.
* If you wish to support or partner with us, please contact:

* vivlos.net@gmail.com

The Old Testament (Septuaginta)
<a href="https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI">https://youtube.com/playlist?list=PLqOoWYKEqRw2J7wlPCGWIYIRdX4G2USZr&si=98IZ8ZkglX6ll-xI
We are a voice of Orthodoxy, a witness of the Word, and a blessing to the Nations.

2026-02-12

---

PDF generated using Haiola and XeLaTeX on 13 Feb 2026 from source files dated 12 Feb 2026
ca02bfb2-f119-5bc3-ba15-888748b9800a